7. Ἤδη δὲ πρεσβύτερος ὤν, ὑπατεύοντος τοῦ υἱοῦ καὶ χρηματίζοντος ἐν δημοσίῳ πολλῶν παρόντων, ἀναβὰς ἐφ' ἵππον προσῄει· πέμψαντος δὲ τοῦ νεανίσκου ῥαβδοῦχον καὶ καταβῆναι κελεύσαντος, οἱ μὲν ἄλλοι διετράπησαν, αὐτὸς δὲ ὁ Φάβιος ἀποπηδήσας τοῦ ἵππου προσέδραμε παρ' ἡλικίαν καὶ περιβαλὼν τὸν υἱόν 'εὖγε' εἶπεν, 'ὦ παῖ, φρονεῖς, αἰσθόμενος τίνων ἄρχεις καὶ πηλίκης ἀρχῆς μέγεθος παρείληφας.'

## ΣΚΙΠΙΩΝ Ο ΠΡΕΣΒΥΤΕΡΟΣ

B 1. Σκιπίων δὲ ὁ πρεσβύτερος τὴν ἀπὸ τῶν στρατειῶν καὶ τῆς πολιτείας σχολὴν ἐν γράμμασι διατριβὴν ποιούμενος ἔλεγεν, ὁπότε σχολάζοι, πλείονα πράττειν.

2. Ἐπεὶ δὲ Καρχηδόνα κατὰ κράτος εἷλε καὶ τῶν στρατιωτῶν τινες αἰχμάλωτον λαβόντες εὐπρεπῆ παρθένον ἧκον κομίζοντες αὐτῷ τ' ἐδίδοσαν, 'ἡδέως ἄν' ἔφη 'ἔλαβον, εἴπερ ἦν ἰδιώτης καὶ μὴ ἄρχων.'

3. Πολιορκῶν δὲ πόλιν Βαθεῖαν, ἧς ὑπερεφαίνετο ναὸς Ἀφροδίτης, ἐκέλευσεν ἐκεῖ τὰς ἐγγύας ὁμολογεῖν, ὡς εἰς τρίτην ἐν τῷ ἱερῷ τῆς Ἀφροδίτης ἀκουσόμενος τῶν διαδικούντων· καὶ τοῦτ' ἐποίησεν, ὡς προεῖπε, τῆς πόλεως ἁλούσης.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403549256/81 UNIVERSITÄT LEIPZIG